καθαυτήν, νῦν διορίζεται περὶ αὐτῆς ἐν τῇ πρὸς τὰ διάφορα τῶν ζῴων γένη παραθέσει. Καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, δείκνυσι τί ἐστι κοινὸν πᾶσι τοῖς ζῴοις τοῖς μετέχουσι τῆς κινήσεως· δεύτερον, πῶς ἡ κινητικὴ ἀρχὴ εὑρίσκεται ἐν τοῖς ἀτελέσι ζῴοις, ἐν τῷ· Σκεπτέον δὲ καὶ περὶ τῶν ἀτελῶν· τρίτον, δείκνυσι πῶς ἡ ἀρχὴ τῆς κινήσεώς ἐστιν ἐν τῷ τελειωτάτῳ ζῴῳ, ὅπερ ἐστὶν ὁ ἄνθρωπος, διαφόρως ἢ ἐν τοῖς ἄλλοις ζῴοις, ἐν τῷ· Ἡ μὲν οὖν αἰσθητική. Φησὶ τοίνυν, πρῶτον, ὅτι πᾶν ζῷον, καθόσον ἐστὶν ὀρεκτικόν, κατὰ τοῦτο ἐστὶν ἑαυτοῦ κινητικόν· ἡ γὰρ ὄρεξις ἐστὶν ἡ κυρίως αἰτία τῆς κινήσεως. Ἀλλὰ τὸ ὀρεκτικὸν οὐκ ἔστι χωρὶς φαντασίας· ἡ δὲ φαντασία ἢ λογική ἐστιν, ἢ αἰσθητική· καὶ τῆς μὲν αἰσθητικῆς φαντασίας μετέχει καὶ τὰ ἄλλα ζῷα παρὰ τὸν ἄνθρωπον. οὐ μέντοι γε καὶ τῆς λογικῆς φαντασίας. Δεῖ δὲ θεωρεῖν ὅτι, ὥσπερ πρότερον τῇ νοήσει τὴν φαντασίαν συμπεριέλαβεν, οὕτω καὶ νῦν τὴν φαντασίαν ἐκτείνει καὶ πρὸς τὸν νοῦν, ἀκολουθῶν τῷ τοῦ ὀνόματος λόγῳ. Ἡ γὰρ φαντασία οἷόν τις φάνησις ἐστί· φαίνεται δέ τι καὶ κατὰ τὴν αἴσθησιν, καὶ κατὰ τὸν λόγον· ἔχει δὲ καὶ τὴν ἑαυτῆς ἐνέργειαν ἡ φαντασία ἐν τῇ ἀπουσίᾳ τοῦ αἰσθητοῦ, ὥσπερ καὶ ὁ λόγος καὶ ὁ νοῦς.

Σκεπτέον δέ. Ἐφεξῆς δείκνυσι τίς | ἐστὶν ἡ ἀρχὴ τῆς κινήσεως ἐν f. 344v
τοῖς ἀτελέσι τῶν ζῴων. Καὶ λέγονται ἀτελῆ ζῷα, οἷς ἁφὴ μόνη αἴσθησις ἐνυπάρχει. Καὶ φησὶν ὅτι σκεπτέον ἐστὶ τί τὸ κινοῦν ταῦτα, πότερον δηλονότι φαντασία ἐστὶν ἐν αὐτοῖς καὶ ἐπιθυμία, ἢ λόγος. Δοκεῖ δὲ ἐπιθυμίαν ἐν αὐτοῖς εἶναι· δοκεῖ γὰρ ἐν αὐτοῖς εἶναι ἡδονὴ καὶ λύπη· συστέλλουσι δὲ αὐτὰ καὶ συνέλκουσιν, ὅταν ἅψηταί τι αὐτῶν βλαβερόν, ἀνοίγουσί τε ἑαυτὰ καὶ διαστέλλουσι καὶ ἐκτείνουσιν, ὅταν αἴσθωνταί τινος ὠφελίμου τε καὶ οἰκείου· τοῦτο δ' οὐκ ἂν ἦν, εἰ μὴ ἐνῆν αὐτοῖς ἡδονὴ καὶ λύπη. Εἰ δὲ ταῦτ' ἔστιν ἐν αὐτοῖς, ἀνάγκη καὶ ἐπιθυμίαν ἐνυπάρχειν αὐτοῖς. Ἀλλ' ἐπειδὴ ἡ ἐπιθυμία οὐκ ἔστι χωρὶς φαντασίας, λείπεται ζητεῖν πῶς ἐστὶν ἐν αὐτοῖς ἡ φαντασία. Καὶ ἀποκρίνεται πρὸς τοῦτο, ὅτι ὥσπερ κινοῦνται, οὕτω καὶ ἡ φαντασία τοῖς τοιούτοις ἔνεστι ζῴοις καὶ ἡ ἐπιθυμία· κινοῦνται δὲ οὐ διωρισμένως ὥσπερ ὑποτιθέντα ἑαυτοῖς ὡρισμένως τόπον τινὰ ἐν τῇ ἰδίᾳ κινήσει· τοῦτο γὰρ συμβαίνει τοῖς ζῴοις τοῖς κινουμένοις κινήσει πορευτικῇ, ἅπερ φαντάζονταί τι διεστώς, καὶ τούτου ὀρέγονται, καὶ πρὸς τοῦτο κινοῦνται, ἀλλὰ τὰ οὕτως ἀτελῆ ζῷα οὐ φαντάζονταί τι διεστώς, διότι οὐδὲν φαντάζονται εἰ μὴ τῇ παρουσίᾳ τοῦ αἰσθητοῦ. Ἀλλ' ὅταν μὲν βλάπτωνται, φαντάζονται τοῦτο ὡς βλαβερὸν καὶ συστέλλουσιν ἑαυτά· καὶ ὅταν ἥδωνται, αὖθις ἐκχέουσιν ἑαυτὰ καὶ πλατύνουσιν ἐπ' ἐκείνου τοῦ ἡδέος καὶ προσίσχονται αὐτῷ, καὶ οὕτως ἐν αὐτοῖς ἡ φαντασία καὶ ἡ

---

7 *ἐν τῷ* om B  20 *τῶν ζῴων*: *ζῴοις* B  36 *βλαβερὸν*: *φανερὸν* B

Ε.Λ.Δ της Κτ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐπιθυμία ἀορίστως ἐστί, καθόσον φαντάζονται καὶ ἐπιθυμοῦσι τί ὡς οἰκεῖον, οὐ μέντοι γε ὡς τόδε, ἢ ἐκεῖνο, ἢ ὡς ἐνταῦθα, ἢ ὡς ἐκεῖ, ἀλλὰ συγκεχυμένην ἔχουσι τήν τε φαντασίαν καὶ τὴν ἐπιθυμίαν.

Ἐφεξῆς λέγων· Ἡ μὲν οὖν αἰσθητική, δείκνυσι πῶς ἡ ἀρχὴ ἡ κινητική ἐστιν ἐν τοῖς ἀνθρώποις. Καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, δείκνυσι πῶς ἡ κινοῦσα ἀρχὴ ἐν τοῖς ἀνθρώποις ἐστὶν ὁ βουλευτικὸς λόγος· δεύτερον, δείκνυσιν ὅτι ἐνίοτε ἡ τοῦ λόγου συμβουλὴ νικᾶται διὰ τῆς ὀρέξεως, ἐν τῷ· Νικᾷ δὲ ἐνίοτε· τρίτον, δείκνυσι τίς ἐστιν ὁ κινῶν λόγος, ἐν τῷ· Τὸ δὲ ἐπιστημονικόν. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἡ αἰσθητικὴ φαντασία, ὡς ἐκ τῶν εἰρημένων δῆλον ἐστίν, κἀν τοῖς ἄλλοις ζῴοις ὑπάρχει, ἀλλ' ἡ βουλευτικὴ ἐν τοῖς λογικοῖς μόνον ἐστί, διότι τὸ θεωρεῖν πότερον τόδε ἐστὶ πρακτέον ἢ τόδε, ὅπερ ἐστὶ τὸ βουλεύεσθαι, ἔργον ἐστὶ τοῦ λόγου, καὶ ἐν τῇ τοιαύτῃ θεωρίᾳ ἀνάγκη λαμβάνειν ἕνα τινὰ κανόνα ἢ τέλος ἢ τί τοιοῦτον, πρὸς ὃ μετρηθείη ἂν τί μᾶλλον ἐστὶ πρακτέον· φανερὸν γάρ ἐστιν, ὅτι ὁ ἄνθρωπος διώκει, τουτέστιν ἐπιθυμεῖ, τὸ μεῖζον ἐν τῇ ἀγαθότητι, τουτέστι τὸ βέλτιον. Τὸ δὲ μεῖζον ἀεὶ κρίνομεν μέτρῳ τινί· καὶ οὕτω δεῖ λαμβάνειν τι μέτρον ἐν τῷ βουλεύεσθαι τί μᾶλλον πρακτέον ἐστί. Καὶ τοῦτ' ἔστι τὸ μέσον, ἐξ οὗ ὁ πρακτικὸς συλλογίζεται λόγος, τί ἂν εἴη αἱρετέον ἢ πρακτέον. Ὅθεν φανερόν ἐστιν, ὅτι ὁ λόγος ὁ βουλευτικὸς ἐκ πλειόνων φαντασμάτων δύναται ἓν ποιεῖν, τουτέστιν ἐκ τριῶν, ὧν θάτερον προκρίνει τοῦ λοιποῦ· τὸ δὲ τρίτον ἐστὶν ὥσπερ τι μέτρον, ᾧ προκρίνει. Καὶ αὕτη ἐστὶν ἡ αἰτία τοῦ τὰ ἄλογα ζῷα μὴ ἔχειν δόξαν, εἰ καὶ φαντασίαν ἔχουσι, διότι οὐ δύνανται συλλογισμῷ χρῆσθαι, δι' οὗ δὴ συλλογισμοῦ θάτερον τοῦ λοιποῦ προκρινοῦσιν. Ἀλλ' ἡ βούλευσις τοῦ λόγου ἔχει ἐκείνην, δηλονότι τὴν φαντασίαν· ἄλλως γὰρ οὐκ ἂν ἐποίει ἐκ πλειόνων φαντασμάτων ἕν. Κἀντεῦθεν ἐστίν, ὅτι ἡ ὄρεξις ἡ χθαμαλωτέρα, ἡ τῇ φαντασίᾳ ἑπομένη, οὐκ ἔχει βούλευσιν, ἀλλὰ χωρὶς βουλεύσεως κινεῖται πρὸς τὸ ἐπιθυμεῖν, ἢ ὀργίζεσθαι, διότι δηλονότι ἀκολουθεῖ τῇ αἰσθητικῇ φαντασίᾳ.

Ἐφεξῆς λέγων· Νικᾷ δέ, δείκνυσιν ὅπως τὸ τοῦ λόγου συμβουλευτικὸν νικᾶται ὑπὸ τῆς ταπεινοτέρας ὀρέξεως. Καὶ φησὶν ὅτι ἡ ὄρεξις ἡ χθαμαλωτέρα, ἥτις ἐστὶν ἄνευ βουλεύσεως, νικᾷ τὴν βούλευσιν καὶ ἀφίστησι τὸν ἄνθρωπον τῶν βεβουλευμένων. Ἐνίοτε δὲ τοὐναντίον ἡ ὄρεξις κινεῖ τὴν ὄρεξιν, ἡ ὑψηλοτέρα δηλονότι καὶ ἡ τοῦ βουλευτικοῦ λόγου, τὴν τῆς αἰσθητικῆς φαντασίας, ὥσπερ ἐν τοῖς οὐρανίοις σώμασιν ἡ ὑψηλοτέρα σφαῖρα κινεῖ τὴν ταπεινοτέραν· ὅπερ συμβαίνει, ὅταν τις ἐγκρατὴς ᾖ· ἐγκρατοῦς γάρ ἐστι τὸ τῇ τοῦ λόγου βουλεύσει τὴν ὁρμὴν τοῦ πάθους νικᾶν· καὶ αὕτη ἐστὶν ἡ κατὰ φύσιν τάξις, ἵνα δηλονότι ἡ ὑψηλοτέρα

---

1 *καὶ ἐπιθυμοῦσι* om B

Ε.Υ.Δ της Κ.Τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

ὄρεξις κινῇ τὴν ταπεινοτέραν, διότι κἂν τοῖς οὐρανίοις σώμασι φυσικῶς ἡ ὑψηλοτέρα σφαῖρα ἀρχοειδεστέρα ἐστὶ καὶ κινεῖ τὴν ταπεινοτέραν οὕτως, ὥστε τὴν ταπεινοτέραν κινεῖσθαι τρισὶ κινήσεσι τοπικαῖς· ὥσπερ ἡ τοῦ Κρόνου σφαῖρα κινεῖται καὶ τῇ καθημερινῇ κινήσει, ἥτις ἐστὶ περὶ τοὺς πόλους τοῦ κόσμου· καὶ τῇ ἐναντίᾳ κινήσει, ἥτις ἐστὶν ἐπὶ τῶν ζῳδιακῶν πόλων· καὶ παρὰ ταύτην, | τῇ ἰδίᾳ κινήσει. Ὡσαύτως δὲ καὶ ἐπὶ τῆς f. 345 ὀρέξεως ἔχει τῆς χθαμαλωτέρας. Εἰ γὰρ καὶ ἔχει τι τῆς ἰδίας κινήσεως, κινεῖται μέντοι γε κατὰ τὴν φυσικὴν τάξιν τῇ κινήσει τῆς ὑψηλοτέρας ὀρέξεως καὶ τῇ κινήσει τοῦ βουλευτικοῦ λόγου. Εἰ δὲ τοὐναντίον συμβαίη, τὴν ὑψηλοτέραν ὄρεξιν ὑπὸ τῆς χθαμαλοτέρας μετακινεῖσθαι, τοῦτο παρὰ τὴν τάξιν ἂν εἴη τῆς φύσεως. Ὅθεν καὶ τοῦτο ποιεῖ τὸ ἁμάρτημα ἐν τοῖς ἤθεσιν, ὥσπερ καὶ ἁμαρτήματα ἐν τῇ φύσει εἰσὶ τὰ τέρατα.

Ἐφεξῆς λέγων· Τὸ δὲ ἐπιστημονικόν, ἐνταῦθα δείκνυσι τίς ἐστιν ὁ κινῶν λόγος. Καὶ δεῖ πρῶτον εἰδέναι, ὅτι θεωρητικὸς λόγος, ὃν αὐτὸς καλεῖ ἐπιστημονικόν, οὐ κινεῖ, ἀλλ' ἐν ἠρεμίᾳ ἐστί, διότι οὐδὲν λέγει περὶ διωκτοῦ, ἢ φευκτοῦ, ὡς προείρηται· ὁ δὲ πρακτικὸς λόγος ἐστὶ μέν τις καθόλου, ἔστι δέ τις μερικός· καθόλου μέν, ὥσπερ ὁ λέγων, ὅτι δεῖ τὸν τοιόνδε τοιόνδε ποιεῖν, ἤγουν τὸν υἱὸν τιμᾶν τοὺς γονέας· λόγος δὲ μερικός ἐστιν, ὅτι τοδί, τοιόνδε, κἀγώ, τοιόσδε, οἷον ὅτι ἐγὼ υἱὸς ταύτην τὴν τιμὴν νῦν ὀφείλω παρασχεῖν τῷ πατρί, οὗτος δὲ ὁ μερικὸς κινεῖ, ἀλλ' οὐχ ὁ καθόλου· ἤ, εἰ καὶ ἄμφω κινοῦσιν, ἀλλ' ὁ μὲν καθόλου κινεῖ ὡς αἰτία πρώτη ἠρεμοῦσα, ὁ δὲ μερικὸς ὡς αἰτία προσεχὴς καὶ τρόπον τινὰ τῇ κινήσει προσίσχουσα. Αἱ γὰρ ἐνέργειαι καὶ αἱ κινήσεις ἐν τοῖς μερικοῖς εἰσίν. Ὅθεν δεῖ, πρὸς τὸ τὴν κίνησιν ἕπεσθαι τὴν δόξαν τοῦ καθόλου, πρὸς τὴν μερικὴν ἐφαρμόζεσθαι. Κἀντεῦθεν καὶ τὰ ἁμαρτήματα ἐν ταῖς ἐνεργείαις συμβαίνουσιν, ὁπόταν ἡ δόξα ἐν τῷ μερικῷ πρακτῷ φθαρῇ δι' ἡδονήν, ἢ ἄλλο τι πάθος, εἰ καὶ τοῦτο τὴν καθόλου δόξαν οὐ διαφθείρει.

## Leçon XVII.

Τὴν μὲν οὖν θρεπτικήν. Διορισάμενος ὁ Φιλόσοφος περὶ πάντων τῶν μερῶν τῆς ψυχῆς, ἐνταῦθα δείκνυσι πῶς τετάχαται πρὸς ἄλληλα ταῦτα. Καὶ πρῶτον δείκνυσιν ὅτι ἀνάγκη τὸ θρεπτικὸν τῆς ψυχῆς μέρος ἐν ἅπασι τοῖς ζῶσιν εὑρίσκεσθαι· δεύτερον, δείκνυσιν ὅτι τὸ αἰσθητικὸν οὐκ ἐν πᾶσιν, ἀλλ' ἐν τοῖς ζῴοις μόνον, ἐν τῷ· Τὴν αἴσθησιν δέ. Φησὶ τοίνυν, πρῶτον, ἐκ τῶν ἀνωτέρω περὶ τῶν τῆς ψυχῆς μερῶν εἰρημένων συμπεραίνων, ὅτι πᾶν τὸ ζῶν καὶ ἀκολούθως ὁποιονοῦν τῆς ψυχῆς μόριον ἔχον ἀνάγκη τὴν θρεπτικὴν ἔχειν ψυχὴν ἐξ ἀρχῆς τῆς αὐτοῦ γενέ-

---

**9** *ὀρέξεως*: *κινήσεως* **B** **10** *χθαμαλωτέρας*: *ὑψηλοτέρας* **AB par distraction** **18** *τι* **avant** *ποιεῖν* **add B** **20** *παρέχειν* **B** **20-21** *οὐχ ὅμου* **B** **27** *τοῦ* **après** *τὴν* **add B** **35** *τῶν* **après** *περὶ* **om B**

ΙΩΑΝΝΙΝΑ 2006

σεως μέχρι τῆς αὐτοῦ φθορᾶς· ἐξ οὗ βούλεται τοῦτο νοεῖσθαι περὶ ἐκείνων τῶν ζώντων, ἅπερ ἐν τοῖς γινομένοις καὶ φθειρομένοις εἰσί· τοῦτο δὲ δείκνυσιν οὕτως. Ἀνάγκη γάρ ἐστι πᾶν τὸ ζῶν ὅπερ γεννᾶται ἔχειν αὔξησιν καὶ ἀκμὴν καὶ φθίσιν. Ἀλλὰ τοῦτο οὐ δύναται συμβαίνειν χωρὶς τροφῆς, διότι ἐν τῷ καιρῷ τῆς αὐξήσεως δεῖ πλέον τῆς τροφῆς μεταβάλλεσθαι ἢ ὅσον ἀρκεῖ πρὸς τὴν συντήρησιν τοῦ προϋποκειμένου μεγέθους· ἐν δὲ τῷ τῆς ἀκμῆς χρόνῳ ἐπίσης, ἐν δὲ τῷ χρόνῳ τῆς φθίσεως, ἔλαττον. Ἐπεὶ τοίνυν τὸ τρέφεσθαι ἀνήκει πρὸς τὸ θρεπτικὸν μέρος, ἀνάγκη τοῦτο τῆς ψυχῆς τὸ μέρος ἐν πᾶσιν εἶναι τοῖς ζῶσιν τοῖς γινομένοις καὶ φθειρομένοις. Καὶ οὕτω φαίνεται ἡ τάξις τοῦ μέρους τούτου τῆς ψυχῆς πρὸς τὰ ἄλλα τῆς ψυχῆς μέρη, ὅτι πάντα τὰ ἄλλα ταύτην προϋποτιθέασι τὴν τῆς ψυχῆς μοῖραν.

Ἐφεξῆς λέγων· Αἴσθησιν δέ, δείκνυσι πῶς ἔχει τὸ αἰσθητικὸν μέρος πρὸς τὰ ζῶντα. Καὶ πρῶτον μὲν δείκνυσιν, ὅτι οὐκ ἐν πᾶσιν ἐστὶ τοῖς ζῶσιν· δεύτερον, δείκνυσιν ἐν τίσι τῶν ζώντων ἐστίν, ἐν τῷ· Τὸ δὲ ζῷον. Φησὶ τοίνυν, πρῶτον, ὅτι οὐκ ἀνάγκη πάντα τὰ ζῶντα αἴσθησιν ἔχειν· ἡ γὰρ τῆς ἁφῆς αἴσθησις, ἧς ἄνευ οὐδεμία ἄλλη αἴσθησις εἶναι δύναται, καὶ ἑπομένως οὐδέ τι ζῷον, οὗπερ ὁ λόγος ἐν τῷ αἴσθησιν ἔχειν συνέστηκεν, οὐ δύναται εἶναι ἐν ἁπλῷ τινι σώματι. Δεῖ γὰρ τὸ ὄργανον τῆς αἰσθήσεως τῆς ἁφῆς ἔν τινι μεσότητι εἶναι τῶν ἐναντίων, ὡς προαποδέδεικται, ὅπερ οὐδενὶ τῶν ἁπλῶν σωμάτων ἁρμόττει· ἐν γὰρ τοῖς ἁπλοῖς σώμασι, τουτέστι τοῖς στοιχείοις, εἰσὶν αἱ ὑπερβολαὶ τῶν ἁπτῶν ποιοτήτων, οἷον ἐν πυρὶ ἡ τοῦ θερμοῦ ὑπερβολή, ἐν δὲ τῷ ὕδατι ἡ τοῦ ψυχροῦ· ὡσαύτως δὲ καὶ πάντα, ὅσαπερ οὐκ εἰσὶ δεκτικὰ τῶν ἄνευ ὕλης εἰδῶν, οὐκ ἔχουσιν αἴσθησιν· ἡ γὰρ αἴσθησις ἐστὶ δεκτικὴ τῶν ἄνευ ὕλης εἰδῶν, ὡς προείρηται. Εἰσὶ δέ τινα ζῶντα, δηλαδὴ τὰ φυτά, ἃ πλησιάζουσι τοῖς ἁπλοῖς σώμασι διὰ τὴν ἐν αὐτοῖς ἑνὸς ἁπλοῦ σώματος, τῆς γῆς, ἐπικράτειαν, καὶ οὐ δέχονται τὰ εἴδη τῶν αἰσθητῶν εἰ μὴ κατὰ τὴν ὑλικὴν μεταβολὴν καὶ ἀλλοίωσιν. Οὐκ ἄρα πάντα τὰ ζῶντα ἔχουσιν αἴσθησιν.

Ἐφεξῆς λέγων· Τὸ δὲ ζῷον, δείκνυσιν ὅτι πάντα τὰ ζῷα ἔχουσιν αἴσθησιν, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσι τοῦτο περὶ τῶν ζῴων τῶν κινουμένων κινήσει πορευτικῇ· δεύτερον, ἁπλῶς περὶ πάντων τῶν
f. 345v ζῴων, ἐν τῷ· | Ἀλλὰ μήν. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσι τὸ προκείμενον· δεύτερον, ἀποκλείει ἐκεῖνο, δι' οὗ δυνατόν τινα ἀπαντῆσαι τῷ λόγῳ αὐτοῦ, ἐν τῷ· Οὐ δύναται δέ. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἀνάγκη τὸ ζῷον αἴσθησιν ἔχειν. Πρὸς τὸ δεῖξαι τοίνυν τοῦτο, τίθησι, πρῶτον, ὅτι ἡ φύσις οὐδὲν ποιεῖ μάτην, διότι πάντα τὰ ἐν τῇ φύσει εἰσὶν ἕνεκά του· ἡ γὰρ φύσις διὰ τέλος τι ποιεῖ, ἢ συμπτώματα εἰσὶ τῶν ἕνεκά

3 *γὰρ* om B    7 *χρόνῳ* après *τῷ* om B    30 *ὅτι* après *λέγων* add B

του, τουτέστι προΐασιν ἐξ ἀνάγκης ἐκ τῶν ἕνεκά του ὄντων, ὥσπερ ἡ φύσις ποιεῖ τὰ μέλη διά τινας ἐνεργείας, ἀλλ' ἐκ τοῦ τὰ μέλη τοιᾶσδε διαθέσεως εἶναι ἕπεται ἔχειν τινὰ συμβεβηκότα, ὥσπερ τὸ τετριχῶσθαί πως ἢ κεχρῶσθαι, ἅπερ οὐκ εἰσὶν ἕνεκά του, ἀλλὰ μᾶλλον ἐκ τῆς ἀνάγκης τῆς ὕλης προΐασιν. Οὕτω τοίνυν, ἐπειδὴ ἡ φύσις ἕνεκά του ποιεῖ, εἰ τὸ φυσικὸν πρᾶγμα μὴ ἠδύνατο προσέρχεσθαι τῷ τέλει ὅπερ ἡ φύσις σκοπεῖ, μάτην ἂν ἦν· ἀλλ' ἡ φύσις πεποίηκε τὸ πορευτικὸν σῶμα, τουτέστι τὸ τοῦ ζῴου, ὅπερ δύναται κινήσει κινεῖσθαι πορευτικῇ, οὕτως ὠργανωμένον τε καὶ διατεθειμένον πρὸς τὴν κίνησιν, ὥστε διὰ τῆς κινήσεως περαιτέρω τὴν τροφὴν πορίζεσθαι, δι' ἧς διατηροῖτο ἂν ἐν τῷ εἶναι· τοῦτο δὲ ἀδύνατον, ἂν μὴ ἔχῃ αἴσθησιν· οὐ γὰρ ἂν διακρίνειε τὰ φθείροντα, ἅπερ δύναιντ' ἂν αὐτῷ ἀπαντᾶν, καὶ οὕτω φθείροιτο, καὶ οὐκ ἂν ἀφίκοιτο πρὸς τὸ τέλος, ὅπερ ἡ φύσις σκοπεῖ, τουτέστιν οὐκ ἂν συντηροῖτο διὰ τῆς τροφῆς, ἣν ἐκ τῆς κινήσεως πορίζεται. Πῶς δ' ἂν τραφείη, εἰ μὴ ζητήσειε τὴν τροφὴν διὰ τῆς κινήσεως; Οὐδὲ ἔστιν ἔνστασις πρὸς τοῦτο ἐκ τῶν ἀκινήτων ζῴων, διότι τοῖς μονίμοις ζῴοις, τουτέστι τοῖς ἀκινήτοις, ὑπάρχει πρὸς τροφὴν ἐκεῖνο, ὅθεν πεφύκασι τρέφεσθαι· γίνονται γὰρ ἐκεῖ τὴν ἀρχὴν καὶ ὑφίστανται, ὅθεν δύνανται τρέφεσθαι, καὶ διὰ τοῦτο οὐ δεῖ ταῦτα τὴν τροφὴν ἐκ τῶν διεστώτων ζητεῖν. Φανερὸν τοίνυν ἐκ τούτων ἐστὶν ἁπάντων, ὅτι εἰ τὰ πορευτικὰ σώματα μὴ ἔχοιεν αἴσθησιν, οὐκ ἂν δύναιντο τυγχάνειν τοῦ τέλους πρὸς ὃ φύσει τέτακται, καὶ οὕτω μάτην ἂν εἴη, ὅπερ ἐστὶν ἄτοπον.

Ἐφεξῆς λέγων· *Οὐχ οἷόν τε δέ*, ἀποκλείει τι, δι' οὗπερ ἠδύνατ' ἂν τις ἀπαντᾶν τῷ ῥηθέντι λόγῳ. Δυνατὸν γὰρ ἦν τινα λέγειν, ὅτι τὸ πορευτικὸν σῶμα δύναται προσελθεῖν πρὸς τὸ τέλος τὸ τῇ φύσει σκοπούμενον διακρίνοντα τὰ φθαρτικὰ διὰ τοῦ νοῦ, καὶ εἰ μὴ ἔχοιεν αἴσθησιν. Ἀλλὰ τοῦτ' ἀποκλείει λέγων, ὅτι τὸ σῶμα τὸ μὴ ὂν μονιμὸν ἀλλὰ πορευτικὸν οὐ δύναται ἔχειν ψυχὴν καὶ νοῦν τῶν βλαπτικῶν διακριτικὸν οὕτως, ὥστε μὴ ἔχειν αἴσθησιν, οὔτ' ἂν ᾖ γεννητόν, οὔτ' ἂν ἀγέννητον. Καὶ περὶ μὲν τοῦ γεννητοῦ δέδεικται· ζῶντα γὰρ γεννητὰ ἔχοντα νοῦν εἰσὶν οἱ ἄνθρωποι μόνον· ὁ δὲ ἀνθρώπινος νοῦς δεῖται τῆς αἰσθήσεως, ὡς προαποδέδεικται. Ἀλλ' ὅ φησιν, ὅτι οὐδὲ τὸ ἀγέννητον ἔχει νοῦν ἄνευ αἰσθήσεως, δοκεῖ ψεῦδος εἶναι καὶ κατὰ τὴν Ἀριστοτελικὴν δόξαν· τὰ γὰρ οὐράνια σώματα, ἅπερ τίθησιν ἔμψυχα εἶναι, ἐκ τῶν τῆς ψυχῆς μερῶν τὸν νοῦν ἔχουσιν, οὐ τὴν αἴσθησιν, ἐπεὶ εἰσὶν ἑνοειδῆ, μὴ ἔχοντα τὴν ἐν τοῖς ὀργάνοις διάκρισιν, ἥτις ζητεῖται πρὸς τὴν αἴσθησιν. Ὅθεν τινὲς οὕτως ἐξηγοῦνται τοῦτο τὸ μέρος, ἱστῶντες τὸν νοῦν, ἐν τῷ· *Γεννητὸν δέ*, ὥστε εἶναι τὸν νοῦν τοῦ ῥητοῦ τοιόνδε, ὅτι οὐδὲν σῶμα μὴ μόνιμον δύναται ἔχειν νοῦν χωρὶς αἰσθήσεως, ἂν μόνον ᾖ γεννητόν· τὸ δέ· *Ἀλλὰ μὴν οὐδ' ἀγέννητον*, ἀρχὴν εἶναι ἑτέρας ἐννοίας, ὡς ἐὰν λέγῃ, ὅτι τὸ εἰρημένον περὶ τοῦ

γεννητοῦ σώματος οὐχ οὕτως ἔχει καὶ περὶ τὸ ἀγέννητον σῶμα, ὥστε δηλονότι μὴ δύνασθαι νοῦν ἔχειν ἄνευ αἰσθήσεως. Καὶ ὅπερ ἐπάγει· Διὰ τί γὰρ οὐχ ἕξει, δεῖ νοεῖν μᾶλλον ἀναφορικῶς ἢ ἐρωτηματικῶς, καὶ εἶναι τὸν τοῦ λεγομένου σκοπὸν τοιόνδε τινά· ἡ αἰτία δι' ἣν τὸ ἀγέννητον σῶμα, τουτέστι τὸ οὐράνιον, οὐκ ἔχει αἴσθησιν, καίτοι νοῦν ἔχον, αὕτη ἐστίν, ὅτι εἰ ἔχοι αἴσθησιν, εἴη ἂν τοῦτο ἢ πρὸς ὠφέλειαν τῆς ψυχῆς τοῦ οὐρανίου σώματος, ἢ πρὸς τὴν αὐτοῦ τοῦ οὐρανίου σώματος ὠφέλειαν. Ἀλλ' οὐδέτερον τούτων ἐστίν· ἡ γὰρ ψυχὴ τοῦ οὐρανίου σώματος οὐδὲν μᾶλλον νοοίη ἂν διὰ τῆς αἰσθήσεως ἢ χωρὶς τῆς αἰσθήσεως· νοεῖ γὰρ κατὰ τὸν τρόπον τῶν χωριστῶν οὐσιῶν τὰ καθαυτὰ νοητά. Ἀλλ' οὐδὲ τὸ οὐράνιον σῶμα δύναιτ' ἂν μᾶλλον διατηρεῖσθαι ἐν τῷ εἶναι διὰ τὴν αἴσθησιν, διότι οὐκ ἔστι δυνατὸν αὐτὸ φθείρεσθαι· ὅθεν οὐδὲ δεῖται τῆς
f. 34b αἰσθήσεως πρὸς ἀποτροπὴν | τῶν λυμαντικῶν, ἀλλὰ πρὸς ταύτην τὴν διάνοιαν οὐκ ἐφαρμόζει καλῶς τὸ ἐπαγόμενον συμπέρασμα, ὅτι οὐδὲν σῶμα μὴ μόνιμον, τουτέστι μὴ ἀκίνητον, ἔχει ψυχὴν ἄνευ αἰσθήσεως, εἰ μή τις ἴσως φαίη τὸ συμπέρασμα τοῦτο μὴ ἕπεσθαι τῷ προσεχῶς εἰρημένῳ, ἀλλὰ τοῖς ἀνωτέρω εἰρημένοις. Ἐπειδὴ τοίνυν αὕτη ἡ ἐξήγησις ἐξεστραμμένη πως ἐστί, δεῖ λέγειν ὅτι διὰ τοῦ ἀγεννήτου σώματος οὐ νοεῖ τὸ οὐράνιον σῶμα ἀλλὰ σώματα ζῴων τινῶν ἀερίων, ἅπερ οἱ Πλατωνικοὶ ἐδόξαζον, ὀνομάζοντες αὐτὰ δαίμονας, ἅπερ Ἀπολλώνιος οὕτως ὡρίζετο· „Δαίμονές εἰσι ζῷα σώματι μὲν ἀέρια, τῇ δὲ ψυχῇ λογικά, τῷ δὲ νῷ παθητικά, τῷ δὲ χρόνῳ ἀΐδια." Περὶ τῶν τοιούτων τοίνυν σωμάτων βούλεται ὁ Φιλόσοφος δεικνύναι, ὅτι ἀδύνατον ἐστιν αὐτὰ νοῦν ἔχειν χωρὶς αἰσθήσεως, ὡς οἱ Πλατωνικοὶ ἐτίθεσαν, ὥστε δεῖν ἐρωματικῶς ἀναγινώσκεσθαι τὸ διατί γὰρ οὐχ ἕξει, ἵνα ᾖ ὁ νοῦς τοιοῦτος· διατί τὸ τοιοῦτον σῶμα οὐχ ἕξει αἴσθησιν; Οὐ γὰρ ἔστιν ἀποδοῦναι τὸν τούτου λόγον. Εἰ γὰρ μὴ ἔχει, ἢ διὰ τὸ τῆς ψυχῆς ἀγαθὸν τοῦτ' ἔσται, ἢ διὰ τὸ τοῦ σώματος· ἀλλ' οὐδέτερον τούτων ἐστίν· ἄνευ γὰρ τῆς αἰσθήσεως οὔτ' ἂν ἡ ψυχὴ αὐτοῦ νοήσειε βέλτιον, οὔτε τὸ σῶμα μᾶλλον ἂν ἐν τῷ εἶναι συντηρηθείη. Κἀντεῦθεν ἑπομένως ἐπάγεται τὸ συμπέρασμα, ὅτι οὐδὲν ἄρα σῶμα κινούμενον ψυχὴν ἔχον ἐστέρηται αἰσθήσεως. Δῆλον δὲ ταύτην εἶναι τὴν ἀριστοτελικὴν διάνοιαν κἀντεῦθεν, ὅτι ἀμέσως ἐπάγει, ὅτι ἀδύνατον σῶμά τι ἁπλοῦν σῶμα εἶναι ζῴου.

Ἐφεξῆς λέγων· Ἀλλὰ μήν, δείκνυσιν ὅτι ἡ αἴσθησις ἀναγκαῖόν τί ἐστιν ἁπλῶς παντὶ ζῴῳ, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσι τὸ προκείμενον· δεύτερον, ἐπάγει τὸ συμπέρασμα ἐκ τῶν εἰρημένων, ἐν τῷ· Φανερὸν οὖν ἐστίν. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, τίθησι τὸν σκοπόν· δεύτερον, ἀποδείκνυσι τὸ προκείμενον, ἐν τῷ· Τοῦτο δέ. Προ-

18 *οὐ δεῖ νοεῖν* B   23 *χωρίς*: *ἄνευ* B   38 *ἐκ τῶν δὲ δῆλον* après *τοῦτο* add B

τίθησι τοίνυν, πρῶτον, δύο· ὧν τὸ πρῶτον ἐστὶν ὅτι, εἴ τι σῶμα ἔχει αἴσθησιν, ἀνάγκη τοῦτο ἢ ἁπλοῦν εἶναι, ἢ μικτόν· ἀλλ' ἀδύνατον εἶναι ἁπλοῦν· εἰ γὰρ εἴη ἁπλοῦν, ἁφὴν οὐκ ἂν ἔχοι, ἣν δὴ τῶν αἰσθήσεων ἀνάγκη παντὶ ζῴῳ προσεῖναι, οὐ μόνον τοῖς πορευτικοῖς, ἀλλὰ καὶ τοῖς ἀκινήτοις, ὡς τοῖς ὀστρέοις.

Ἐφεξῆς λέγων· Τοῦτο δὲ δῆλον, ἀποδείκνυσι τὸ προκείμενον. Καὶ πρῶτον δείκνυσιν ὅτι ἡ αἴσθησις ἡ ἁφὴ ἐν πᾶσιν ἐστὶ τοῖς ζῴοις· δεύτερον, ὅτι τὸ τοῦ ζῴου σῶμα οὐ δύναται εἶναι σῶμα ἁπλοῦν. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσιν, ὅτι ἀνάγκη αἴσθησιν ἐνεῖναι πᾶσι τοῖς ζῴοις· δεύτερον, ὅτι οὐκ ἐνυπάρχει πᾶσιν, ἐν τῷ· Αἱ δὲ ἄλλαι τοῦ τε εὖ ἕνεκα. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι ἀνάγκη τὴν ἁφὴν ἐνυπάρχειν πᾶσι τοῖς ζῴοις· δεύτερον, δείκνυσι τὸ αὐτὸ περὶ τῆς γεύσεως, ἐν τῷ· Ὥστε καὶ τὴν γεῦσιν. Λέγει τοίνυν, πρῶτον, ὅτι τοῦτο δέ, ὅτι δηλονότι ἀνάγκη πᾶσι τοῖς ζῴοις ἐνυπάρχειν ἁφήν, δῆλον ἂν γένοιτο ἐκ τῶν αὐτίκα ῥηθησομένων· τὸ γὰρ ζῷον ἐστὶ σῶμα ἔμψυχον· πᾶν δὲ σῶμα γεννητὸν καὶ φθαρτόν ἐστιν ἁπτόν· καὶ φημὶ ἁπτόν, ὅπερ αἰσθητόν ἐστιν ἁφῇ· τὰ γὰρ οὐράνια σώματα ἀγέννητα ὄντα καὶ ἄφθαρτα οὐκ εἰσὶν ἁπτά· οὐ γὰρ εἰσὶν ἐκ τῆς φύσεως τῶν στοιχείων, ὡς δύνασθαι ἔχειν αὐτὰ τὰς στοιχειώδεις ποιότητας, αἵτινες εἰσὶν ἁπταὶ ποιότητες. Ἀλλὰ πάντα τὰ φθαρτὰ σώματα ἀνάγκη ἔχειν τὰς ἁπτὰς ποιότητας, ἐπεὶ εἰσὶν ἢ στοιχεῖα ἁπλᾶ, ἢ ἐκ τῶν στοιχείων συγκείμενα. Κἀντεῦθεν συμπεραίνει ὅτι ἀνάγκη τὸ τοῦ ζῴου σῶμα ἔχειν τὴν αἴσθησιν τῆς ἁφῆς, εἰ μέλλοι σῴζεσθαι τὸ ζῷον. Ἐπεὶ γὰρ τὸ σῶμα τοῦ ζῴου ἁπτόν ἐστι, τουτέστιν ἁπτὰς ἔχει ποιότητας, ὁμοίως δὲ καὶ τὰ σώματα τὰ ἁπτόμενα αὐτοῦ, δύναται μεταβάλλεσθαι τὸ σῶμα τοῦ ζῴου ὑπὸ τῶν αὐτοῦ ἁπτομένων ὑλικῇ μεταβολῇ οὕτως, ὥστε καὶ φθείρεσθαι. Ἄλλως δὲ ἔχει ἐπὶ τῶν ἄλλων αἰσθήσεων, αἵτινες αἰσθάνονται δι' ἄλλων μέσων, καὶ οὐ διὰ τῆς ἁφῆς, ὥσπερ ἡ ὄσφρησις καὶ ἡ ὄψις καὶ ἡ ἀκοή. Ὅθεν τὰ τοιαῦτα αἰσθητὰ πόρρω ὄντα καὶ μὴ ἁπτόμενα τοῦ σώματος τοῦ ζῴου οὐ δύνανται ἀλλοιοῦν αὐτὸ πρὸς φθοράν, ὥσπερ τὰ ἁπτά, καὶ διὰ τοῦτο, εἰ μὴ ἔχει τὸ ζῷον τὴν αἴσθησιν τῆς ἁφῆς, δι' ἧς διακρινεῖ τὰ οἰκεῖα τῶν φθαρτικῶν, οὐκ ἂν δύναιτο ταῦτα μὲν φεύγειν, ἐκεῖνα δὲ αἱρεῖσθαι, καὶ οὕτως οὐδ' ἂν δύναιτο τὸ ζῷον σῴζεσθαι. Ἀναγκαῖον ἄρα ἐστὶ πρὸς τὴν τοῦ ζῴου σωτηρίαν τὸ ἔχειν τὴν τῆς ἁφῆς αἴσθησιν.

Ἐφεξῆς λέγων· Διὸ καὶ ἡ γεῦσις, συμπεραίνει τὸ αὐτὸ καὶ περὶ τῆς γεύσεως, δηλονότι ὅτι ἡ γεῦσις ἐστὶν ἁφή τις. Καὶ γὰρ | ἡ γεῦσις f. 346v
ἐστὶ τῆς τροφῆς, ᾗ δηλονότι διακρίνεται ἡ τροφὴ πότερον οἰκεία ἐστίν, ἢ

5 *γε* après *ὡς* add B 7-10 *δεύτερον — τοῖς ζῴοις* om B 14 *τοῖς* om B
36 *Καί*: *Ἐπειδὴ* B



Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μή· ἡ δὲ τροφὴ σῶμά τί ἐστιν ἁπτόν· τρέφει γὰρ ἐκ τοῦ θερμὸν εἶναι, καὶ ψυχρόν, καὶ ὑγρόν, καὶ ξηρόν. Ἐκ γὰρ τούτων τρεφόμεθα, ἐξ ὧν καὶ ἐσμέν. Ἀλλ' ὁ ψόφος καὶ ἡ ὀσμὴ καὶ τὸ χρῶμα οὐδὲν ποιοῦσι πρὸς τὴν τροφήν, οὔτε πρὸς τὴν αὔξησιν, οὔτε πρὸς τὴν φθίσιν. Ὁ δὲ χυμὸς συμφέρει πρὸς τὴν τροφήν, καθόσον ἐστὶ παρακολούθημά τι τῆς συμπλοκῆς. Οὕτως οὖν δείκνυται, ὅτι ἡ γεῦσις ἁφή τίς ἐστι, διότι ἐστὶν ἁπτοῦ τινος αἴσθησις καὶ θρεπτικοῦ, τουτέστι τῆς τροφῆς, καὶ οὕτω δείκνυται, ὅτι αὗται αἱ αἰσθήσεις ἀναγκαῖαι τῷ ζῴῳ εἰσίν· ἐξ οὗ κἀκεῖνο φανερόν ἐστιν, ὅτι τὸ ζῷον ἀδύνατον εἶναι χωρὶς ἁφῆς.

Ἐφεξῆς λέγων· Αἱ δὲ ἄλλαι, δείκνυσιν ὅτι αἱ ἄλλαι αἰσθήσεις οὐκ ἐνυπάρχουσι πᾶσι τοῖς ζῴοις ἀλλὰ τισί, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσι τὸ προκείμενον· δεύτερον, φανεροῖ τι, ὅπερ εἰρήκει ἐν τῷ· Ὥσπερ γὰρ τὸ κινοῦν. Φησὶ τοίνυν, πρῶτον, ὅτι αἱ ἄλλαι αἰσθήσεις, δηλονότι ἡ ὄψις, ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις, οὐ πρὸς τὴν ἀνάγκην, ἀλλὰ πρὸς τὸ εὖ εἶναι τῷ ζῴῳ ἁρμόττουσι, καὶ ἀναγκαῖον αὐτὰς οὐ παντὶ γένει τῶν ζῴων ὑπάρχειν, ἀλλὰ τισι, δηλονότι τοῖς κινουμένοις κινήσει πορευτικῇ. Εἰ γὰρ μέλλοι τὸ τοιοῦτον ζῷον σῴζεσθαι, οὐ μόνον δεῖ αὐτὸ αἰσθάνεσθαι τοῦ προσαπτομένου, ἀλλὰ καὶ τοῦ πόρρωθεν ὄντος, διότι πρὸς τὰ πόρρω κείμενα κινεῖται. Τοῦτο δὲ τὸ αἰσθάνεσθαι, δηλονότι τοῦ πόρρω κειμένου, οὐκ ἂν ἄλλῳ εἴη, εἰ μὴ ἔχοι τὰς αἰσθήσεις τὰς αἰσθανομένας διὰ τοῦ μεταξύ, διότι τὸ μέσον πάσχει καὶ κινεῖται ὑπὸ τοῦ αἰσθητοῦ, ἡ δὲ αἴσθησις ὑπὸ τοῦ μέσου. Καὶ τοῦτο τίθησιν ἑπομένως, ὁπόταν λέγῃ· Ὥσπερ γὰρ τὸ κινοῦν. Φανεροῖ γὰρ τοῦτο διὰ παραδείγματος ἐν τῇ κατὰ τόπον κινήσει. Ὁρῶμεν γάρ, ὅτι τὸ κατὰ τόπον κινοῦν ποιεῖ τὴν μεταβολὴν μέχρι τινὸς ὡρισμένου τόπου, διότι τὸ πρώτως ὠθοῦν αἴτιον γίνεται τοῦ τὸ ὠσθὲν ὑπ' αὐτοῦ ἕτερόν τι πάλιν ὠθεῖν, καὶ οὕτω τὸ πρώτως ὠθοῦν κινεῖ τὸ τρίτον διὰ τοῦ μέσου· καὶ τὸ μὲν πρῶτον κινοῦν ὠθεῖ, ἀλλ' οὐκ ὠθεῖται· τὸ δ' ἔχατον, ἐν ᾧ ὁρίζεται ἡ κίνησις, ὠθεῖται μόνον, ἀλλ' οὐκ ὠθεῖ. Ἐνδέχεται δὲ πολλὰ τοιαῦτα μέσα εἶναι. Καὶ ὥσπερ ἐστὶ τοῦτο ἐν τῇ κατὰ τόπον κινήσει, οὕτω καὶ ἐν τῇ ἀλλοιώσει συμβαίνει. Ἔστι γὰρ κἀκεῖ τὸ πρῶτον κινοῦν, καὶ τὸ ἔσχατον κινούμενον, καὶ τὸ μέσον, ὅπερ ἐστὶ δηλονότι καὶ κινοῦν καὶ κινούμενον. Ἀλλὰ τούτῳ μόνον διαφέρει, ὅτι τὸ πρῶτον ἀλλοιοῦν μένον αὐτὸ κατὰ τόπον κινεῖ ἐν τῷ ἀλλοιοῦν, ὅπερ οὐ συμβαίνει τῷ ὠθοῦντι. Καὶ τίθησι παράδειγμα, ὥσπερ εἴ τις εἰς κηρὸν βάψειε τετηγμένον, μέχρις ἐκείνου κινεῖται ὁ κηρός, ἕως οὗ διὰ τῆς ἀλλοιώσεως τῆς θέρμης ἡ ἐνέργεια τοῦ βάπτοντος ἔφθασεν· ἀλλ' ὁ λίθος, σκληρὸς ὤν, οὐκ ἔστι τῆς τοιαύτης ἐντυπώσεως δεκτικός· ἐν δὲ τῷ ὕδατι ἡ τοιαύτη ἀλλοίωσις μᾶλλον ἐκτείνεται πόρρω ἢ ἐν τῇ γῇ. Ἀλλὰ καὶ ὁ

---

7 *δείκνυσιν* B  27 *κινοῦν* om B  32 *καὶ* avant *κινοῦν* om B

Ε.Υ.Δ της ... ΙΩΑΝΝΙΝΑ 2006

ἀήρ, εὐπαθέστερος ὤν, κἂν μάλιστα ἀφεστηκὼς ᾖ, καὶ κινεῖται, καὶ ποιεῖ, καὶ πάσχει ὡς μεταξὺ ὤν, ἐὰν μόνον μένῃ καὶ εἷς ᾖ, ὥστε μὴ διακόπτεσθαι, μεταξύ τινος παρεμπίπτοντος διαφράγματος. Καὶ οὕτω περὶ τῆς ἀναπλάσεως τῆς ὄψεως βέλτιον ἐστὶ λέγειν, ὡς ὁ ἀὴρ δηλονότι ὑπὸ τοῦ σχήματος καὶ τοῦ χρώματος πάσχει, ἕως οὗ διαμένει εἷς καὶ συνεχής, ὅπερ ἐστὶν ὅταν ᾖ ἥσυχός τε καὶ γαληνὸς καὶ μὴ διακόπτηται· ἢ λέγειν, ὅτι αἱ ἀκτῖνες αἱ ἐξερχόμεναι ἐκ τῆς ὄψεως ἀνακλῶνται ἀπὸ τοῦ ὁρατοῦ, ὡς οἱ Πλατωνικοὶ ἐτίθεσαν, καὶ διὰ τοῦτο ὁ ἀὴρ οὕτω κινηθεὶς ὑπὸ τοῦ σχήματος καὶ τοῦ χρώματος κινήσει τὴν ὄψιν, καθόσον τὸ ὁρατὸν μεταβάλλει τὸν ὅλον ἀέρα τὸν μέχρι τῆς ὄψεως· καὶ ἦν ἂν ὁμοιόν τι ὥσπερ ἐπὶ τῆς σφραγῖδος καὶ τοῦ κηροῦ, εἰ τὸ σχῆμα τοῦ δακτυλίου ἐνετυποῦτο τῷ κηρῷ μέχρι καὶ τοῦ τελευταίου ὅρου αὐτοῦ, ὥσπερ τὸ ὁρατὸν ἐντυποῖ τὸ ἑαυτοῦ εἶδος τῷ ἀέρι τῷ μέχρι τῆς ὄψεως.

## Leçon XVIII.

Ὅτι δὲ οὐχ οἷόν τε. Δείξας ὁ Φιλόσοφος τὴν ἁφὴν πᾶσιν ἐξ ἀνάγκης ἐνυπάρχειν τοῖς ζῴοις, ἐνταῦθα δείκνυσιν ὅτι ἀδύνατον τὸ τοῦ ζῴου σῶμα εἶναι ἁπλοῦν, οἷον πύρινον, ἢ ἀέριον, ὥσπερ ἐτίθεσαν οἱ Πλατωνικοὶ εἶναί τινα σώματα ἀέρια. Καὶ τοῦτο δείκνυσιν οὕτως. Οὐδεμίαν ἄλλην αἴσθησιν ἐνδέχεται εἶναι χωρὶς τῆς ἁφῆς· δεῖ γὰρ τὸ ζῷον ἔχειν ἁφήν, ὡς δέδεικται, καὶ ἀκολούθως δεῖ πᾶν σῶμα ἔμψυχον τῇ αἰσθητικῇ ψυχῇ εἶναι τοιοῦτον, ὡς δι' αὐτοῦ δύνασθαι γίνεσθαι τὴν τῆς ἁφῆς αἴσθησιν, καὶ ἔτι τὰ ἄλλα στοιχεῖα τὰ παρὰ τὴν γῆν δύνασθαι εἶναι ὄργανα ἢ μέσα τῶν ἄλλων αἰσθήσεων, δηλονότι τὸν ἀέρα καὶ τὸ ὕδωρ, διότι ὁ ἀὴρ καὶ τὸ ὕδωρ ποιοῦσιν αἰσθάνεσθαι | δι' ἑτέρου, τουτέστι διὰ μέσου. Ἀλλ' ἡ f. 347
ἁφὴ οὐ γίνεται διὰ μέσου, ἀλλ' ἐν τῷ ἅπτεσθαι αὐτῶν τῶν αἰσθητῶν, καὶ διὰ τοῦτο οὕτως ὠνόμασται, καίτοι καὶ τῶν ἄλλων αἰσθήσεων τρόπον τινὰ τῷ ἅπτεσθαι αἰσθανομένων, οὐ μέντοι γε ἀμέσως, ἀλλὰ διὰ τοῦ μέσου· τὸ γὰρ αἰσθητὸν ἅπτεται τῆς αἰσθήσεως διὰ τοῦ μέσου, ὥσπερ καὶ διὰ τοῦ μέσου ἀλλοιοῖ αὐτήν. Μόνη δὲ ἡ τῆς ἁφῆς αἴσθησις αἰσθάνεται ἁπτομένη τοῦ αἰσθητοῦ δι' ἑαυτῆς, καὶ οὐ διά τινος μέσου· ἐξ ὧν δῆλον ἐστίν, ὅτι τὸ τοῦ ζῴου σῶμα δεῖ τοιοῦτον εἶναι, ὥστε δι' αὐτοῦ δύνασθαι γίνεσθαι τὴν ὄψιν καὶ τὴν ἀκοήν· αὗται γὰρ αἱ αἰσθήσεις γίνονται διὰ τοῦ μέσου τοῦ ἐξωτερικοῦ. Καὶ ἐπεὶ τὸ σῶμα τοῦ ζῴου δεῖ τοιοῦτον εἶναι, ὥστε δι' αὐτοῦ γίνεσθαι τὴν αἴσθησιν τῆς ἁφῆς, ἀδύνατον ἔστι τι τῶν στοιχείων εἶναι σῶμα ζῴου· οὔτε γὰρ τὴν γῆν, δι' ἧς οὐ γίνονται αἱ ἄλλαι αἰσθήσεις, οὔτε τὰ ἄλλα στοιχεῖα, δι' ὧν ἄλλαι αἰσθήσεις γίνονται. Καὶ τούτου αἰτία ἐστίν, ὅτι τὸ δι' οὗ ἡ ἁφὴ γίνεται δεῖ εἶναι μεταξὺ τῶν

---

2 *ὥστε*: *τῷ* B 4 *ἐστὶ* om B 16 *Ἔτι* B 26 *αὐτῶν*: *ἀπὸ* B



Βιβλ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐναντίων ἁπτῶν ποιοτήτων ὥστε δεκτικὸν αὐτῶν εἶναι, ὡς τὸ δυνάμει ὂν πρὸς αὐτάς, ὡς πρότερον δέδεικται. Καὶ τοῦτ᾿ ἔστιν ἀληθὲς οὐ μόνον ὅσον πρὸς τὰς τῆς γῆς ποιότητας, ἀλλ᾿ ὅσον καὶ πρὸς ἁπάσας τὰς ἁπτὰς ποιότητας. Ἐν δὲ τοῖς ἁπλοῖς σώμασιν οὐχ εὑρίσκεται μέσον τῶν ἁπτῶν ποιοτήτων, ἀλλ᾿ εὑρίσκονται αὗται αἱ ποιότητες ἐν τῷ ἐσχάτῳ τῆς ἐναντιότητος. Ὅθεν δῆλον, ὅτι οὐδενὸς ἁπλοῦ σώματος, ἢ διά τινος τοῖς ἁπλοῖς σώμασι γειτνιάζοντος δυνατὸν γίνεσθαι τὴν τῆς ἁφῆς αἴσθησιν. Καὶ διὰ τοῦτο τοῖς ὀστέοις καὶ ταῖς θριξὶ καὶ τοῖς τοιούτοις μέρεσιν οὐκ αἰσθανόμεθα διὰ τὸ περιττεύειν ἐν αὐτοῖς ὅσον γεῶδες καὶ μὴ ἀνάγεσθαι πρὸς τὸ μέσον ὡς ἡ ἁφὴ ζητεῖ. Διὰ τοῦτον τὸν λόγον οὐδὲ τὰ φυτὰ οὐδεμίαν αἴσθησιν ἔχουσιν· ἔχουσι γὰρ πολὺ τοῦ γεώδους. Καὶ χωρὶς μὲν ἁφῆς ἀδύνατον εἶναί τινα ἑτέραν αἴσθησιν, ἁφὴν δὲ ἀδύνατον γίνεσθαι διά τινος ἁπλοῦ στοιχείου. Οὕτως οὖν δῆλον ἐστίν, ὅτι οὐδὲν σῶμα ἁπλοῦν αἰσθητικῇ ψυχῇ ἔμψυχον εἶναι δύναται.

Ἐφεξῆς λέγων· Φανερὸν τοίνυν ἐκ τῶν πρότερον εἰρημένων, συμπεραίνει τὴν σχέσιν τῶν αἰσθήσεων πρὸς τὰ ζῷα, καὶ πρῶτον μὲν ὅσον πρὸς τὴν ἁφήν· δεύτερον δὲ ὅσον πρὸς τὰς ἄλλας αἰσθήσεις, ἐν τῷ· Τὰς δὲ ἄλλας αἰσθήσεις. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἐπεὶ ἀνάγκη πᾶν ζῷον ἔχειν τὴν τῆς ἁφῆς αἴσθησιν, ὡς δέδεικται, φανερόν ἐστιν, ὅτι διὰ μόνην τὴν στέρησιν ταύτης τῆς αἰσθήσεως, δηλονότι τῆς ἁφῆς, ἀνάγκη τὰ ζῷα θνήσκειν. Αὕτη γὰρ ἡ αἴσθησις ἀντιστρέφει πρὸς τὰ ζῷα· οὔτε γὰρ δύναταί τι ταύτην ἔχειν, ἂν μὴ ᾖ ζῷον, οὔτε δύναταί τι εἶναι ζῷον μὴ ἔχον αὐτήν. Κἀντεῦθεν συμπεραίνει περαιτέρω, ὅτι τὰ αἰσθητὰ τῶν ἄλλων αἰσθήσεων, ἂν ὑπερβάλλοντα ὦσι, διαφθείρουσι μὲν τὰς αἰσθήσεις, οἷον τὰ σφόδρα λαμπρὰ διαφθείρουσι τὴν ὅρασιν, καὶ οἱ ἄμετροι ψόφοι, τὴν ἀκοήν· διότι μέντοι γε, τούτων τῶν αἰσθήσεων φθειρομένων, δύναται τὸ ζῷον μένειν, διὰ τοῦτο αἱ ὑπερβολαὶ τούτων τὸ ζῷον οὐ διαφθείρουσιν εἰ μὴ κατὰ συμβεβηκός, καθόσον δηλονότι συμβαίνει ἅμα καὶ τὸ ζῷον πάσχειν ὑπό τινων ἁπτῶν φθαρτικῶν, οἷον εἰ ἅμα μετὰ τοῦ ψόφου γένηται καὶ ὦσις καὶ πληγή, ὥσπερ ἐν ταῖς βρονταῖς συμβαίνει, ἐξ ὧν ἐνίοτε τὰ ζῷα φθείρονται· ὡσαύτως δὲ καὶ ὑπὸ τῶν ὁρωμένων ἔνια θνήσκουσιν, οὐ καθόσον εἰσὶν ὁρατά, ἀλλὰ καθόσον φθείρουσι τὸν ἀέρα, ὥσπερ λέγεται περί τινων ζῴων ἰοβόλων. Τὸ δ᾿ αὐτὸ καὶ περὶ τῶν ὀσμῶν δεῖ νοεῖν, καθόσον ταῖς πονηραῖς ὀσμαῖς ἔστιν ὅτε καὶ ἡ τοῦ ἀέρος φθορὰ συνέζευκται. Οὕτω δ᾿ ἔχει καὶ περὶ τοῦ χυμοῦ, ὅτι καὶ ὁ χυμὸς δύναται φθείρειν τὸ ζῷον, ἀλλ᾿ οὐ καθόσον ἐστὶ χυμός, ἀλλὰ καθόσον τῷ χυμῷ συνέζευκται καί τις ποιότης ἁπτή, ὥσπερ ὁπόταν ὁ χυμὸς οὗτος ἔχῃ καὶ θερμότητα, ἢ ψυχρότητα ὑπερβάλλουσαν. Ἀλλ᾿ αἱ τῶν ἁπτῶν

---

24 *ὑπερβαίνοντα* B 33 *τινων* : *τῶν* B

Ε.Υ.Δ της Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

ποιοτήτων ὑπερβολαὶ διαφθείρουσι τὸ ζῷον καθαυτὸ καὶ οὐ κατὰ συμβεβηκός, διότι πᾶσα ὑπερβολὴ τοῦ αἰσθητοῦ διαφθείρει τὴν αἴσθησιν· ὅθεν καὶ τὸ ἁπτόν, εἰ γένοιτο ὑπερβάλλον, διαφθείρει τὴν ἁφήν. Κατὰ δὲ ταύτην τὴν αἴσθησιν ὥρισται ἡ τοῦ ζῴου ζωή· ἐπὶ τοσοῦτον γὰρ διαρκεῖ ἡ τοῦ ζῴου ζωή, ἐφόσον διαρκεῖ καὶ ἡ τῆς ἁφῆς αἴσθησις ἐν αὐτῷ. Δέδεικται γάρ, ὅτι ἀδύνατον εἶναι ζῷον ἄνευ τῆς κατὰ τὴν ἁφὴν αἰσθήσεως. Ὅθεν φανερόν ἐστίν, ὅτι αἱ ὑπερβολαὶ τῶν ἁπτῶν οὐ μόνον τὴν αἴσθησιν φθείρουσι τῆς ἁφῆς, ἀλλὰ καὶ τὸ ζῷον, ἐφόσον ταύτην μόνον τὴν αἴσθησιν [f. 347v] ἀνάγκη ἐνυπάρχειν τῷ ζῴῳ.

Ἐφεξῆς λέγων· Τὰς δὲ ἄλλας αἰσθήσεις, δείκνυσι πῶς αἱ ἄλλαι αἰσθήσεις ἔχουσι πρὸς τὸ ζῷον, καὶ φησὶν ὅτι τὰς ἄλλας αἰσθήσεις ἔχει τὸ ζῷον οὐ διὰ τὴν ἀνάγκην τοῦ εἶναι, διότι καὶ χωρὶς αὐτῶν εἶναί τε καὶ ζῆν δύναται, ἀλλὰ διὰ τὸ εὖ εἶναι, οἷον ἔχει μὲν τὴν ὄψιν, διότι ζῇ ἐν ἀέρι καὶ ὕδατι, ὡς ἂν βλέπῃ διὰ τοῦ ἀέρος καὶ τοῦ ὕδατος τὰ πόρρω κείμενα, καὶ οὐ δι᾽ ἀέρος μόνον καὶ ὕδατος, ἀλλὰ καὶ διὰ παντὸς ὅλως διαφανοῦς· διὰ γὰρ τούτων τὰ οὐράνια σώματα βλέπομεν. Τὴν δὲ γεῦσιν ἔχει τὸ ζῷον ἡδονῆς ἕνεκα καὶ λύπης, τῆς ἐν τῷ βρώματι, ἵνα δηλονότι αἰσθάνηται τῆς ἐν τῷ βρώματι τέρψεως, καὶ οὕτως ἐπιθυμῇ τε αὐτοῦ καὶ πρὸς τὴν αὐτοῦ κινῆται ζήτησιν. Δεῖ δὲ σημειοῦσθαι, ὅπως πρότερον μὲν τὴν γεῦσιν ἀναγκαίαν εἶπεν εἶναι τῷ ζῴῳ, καθόσον ἐστὶν ἁφή τις τῆς τροφῆς, νῦν δὲ αὐτὴν ἐναριθμεῖ ταῖς μὴ ἀναγκαίαις αἰσθήσεσιν, ἅτε διακριτικὴν τῶν χυμῶν, οἳ ποιοῦσι τὴν τροφὴν ἡδεῖαν ἢ λυπηράν, ὥστε ταύτην προσίεσθαι ῥαδίως, ἢ ἀποστρέφεσθαι. Τὸ δὲ περὶ τῆς γεύσεως εἰρημένον καὶ περὶ τῆς ὀσμῆς δεῖ νοεῖν, διότι δι᾽ αὐτῆς τῆς ὀσμῆς ἕλκονται πόρρωθεν τὰ ζῷα πρὸς τὴν τροφήν, εἰ καὶ ἐν τοῖς ἀνθρώποις ἄλλο μέν ἐστι τὸ εἶδος, ἑτέρα δὲ ἡ ὠφέλεια τῆς ὀσμῆς, ὡς ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ λέγεται. Ἡ δὲ ἀκοὴ ἐστὶν ἐν τῷ ζῴῳ πρὸς τὸ δι᾽ αὐτῆς αὐτῷ τι σημαίνεσθαι· ἀναγκαῖον γάρ ἐστι τὰς ἑνὸς ζῴου συλλήψεις ἑτέρῳ δήλας καθίστασθαι, καθὸ ἓν ζῷον ὑπ᾽ ἄλλου βοηθεῖται, ὡς μάλιστα φαίνεται ἐν τοῖς τῶν ζῴων ἀγελαστικοῖς καὶ ἐν ἅπασι τοῖς ζῴοις, ἐν οἷς τὰ γεννώμενα ὑπὸ τῶν γεννώντων αὐτὰ τρέφονται. Οὕτω δὲ δεῖ καὶ γλῶτταν ἔχειν τὸ ζῷον, δι᾽ ἧς ἂν τὰ ἐν αὐτῷ πάθη καὶ τὰς συλλήψεις ἑτέρῳ δηλοποιοίη ψοφοῦν. Καὶ ταῦτα μὲν περὶ ψυχῆς εἰρημένα τέως ἀρκείτωσαν: †

---

26 *ἐστι* om B 31 *τρέφεται* B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Table des matières.

**Introduction** . . . . . . . . . . . . . . . . . . . . . . . . V-XII

## Suite des traductions et commentaires.

**III. Résumé de la „Prima Secundae“ de la Somme théologique de saint Thomas d'Aquin** . . . . . . . . . . . . . . . 1-153
1. Prologue . . . . . . . . . . . . . . . . . . . . 1
2. De la fin dernière . . . . . . . . . . . . . . . . 2-12
3. Des actes humains . . . . . . . . . . . . . . . . 12-27
4. Des passions . . . . . . . . . . . . . . . . . . 27-51
5. Des habitudes et des vertus . . . . . . . . . . . . 51-76
6. Des péchés et des vices . . . . . . . . . . . . . 76-106
7. De la loi . . . . . . . . . . . . . . . . . . . 106-127
8. De la grâce . . . . . . . . . . . . . . . . . . 127-153

**IV. Traduction et commentaire de l'opuscule de saint Thomas d'Aquin „De ente et essentia“** . . . . . . . . . . . . . . . 154-321
1. Traduction . . . . . . . . . . . . . . . . . . . 154-177
2. Commentaire . . . . . . . . . . . . . . . . . . 177-321
3. Table des matières du commentaire . . . . . . . . . . 322-326

**V. Traduction du commentaire de saint Thomas d'Aquin du „De Anima“ d'Aristote** . . . . . . . . . . . . . . . 327-581
1. Livre premier . . . . . . . . . . . . . . . . . . 327-394
2. Livre deuxième . . . . . . . . . . . . . . . . . 395-497
3. Livre troisième . . . . . . . . . . . . . . . . . 498-581

Imprimerie G. Uschmann à Weimar.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006